Leo Sternbach.

ANALECTA MANASSEA.

SEORSUM IMPRESSUM EX COMMENTARIIS SOCIETATIS PHILOLOGAE, QUIBUS INSCRIBITUR »EOS«, VOL. VII., P. 180—194.

LEOPOLI.
SUMPTIBUS SOCIETATIS PHILOLOGAE.
TYPIS E. WINIARZ.
1902.



Additamentis, quibus nuper Constantini Manassae reliquias auxi[1]), appendicis loco omnia solutae orationis monumenta adiungo, quaecumque in schedis congesta habeo[2]).

I.

Initium ab aucupii enarratione duco, cuius contextum codex Urbinas Gr. 134 (chart. in 4°, s. XV) f. 217^r—221^r praebuit; nondum excussus est codex Escurialensis Y— II—10 (membran. in 4°, s. XIV), qui idem Manassae opusculum de fringillarum et carduelium venatione

---

[1]) 1. „Constantini Manassae ecphrasis inedita“ (Leopoli 1901 = Symbolae in honorem L. Ćwiklińskii, ibid. 1902, p. 11—20), qua descriptio ἀνθρώπου μικροῦ (Ecphr. pumil.) continetur; — 2. „Beiträge zur Kunstgeschichte. Konstantinos Manasses“ (Jahreshefte des österr. archäol. Institutes vol. V — 1902 — Beiblatt p. 65 — 94), ubi lithostrotorum expositiones duae (p. 74 sqq.) in censum veniunt, quarum altera (Ecphrasis Telluris) post Hercherum (Memorie dell' instituto di corrispondenza archeologica vol. II — L. 1865 — p 492 sqq.) recognita est, altera (Ecphrasis Cyclopis) primum in lucem prodiit.

[2]) Manassae scripta ab aliis vulgata excitans hisce compendiis utor: Chron. (compendium chronicum ed. J Bekker, Bonnae 1837), — Opp. (γένος 'Οππιανοῦ ed. A. Westermann, Vitarum script. Gr, Brunsv. 1845, p. 67 sq.), — Exc. am. (excerpta amatoria ἐκ τῶν κατὰ 'Αρίστανδρον καὶ Καλλιθέαν ἐννέα λόγων ed. R. Hercher, Erot. script. Gr. vol. II — L. 1859 — p. 555 sqq), — Mon. (μονωδία ἐπὶ τῇ σεβαστῇ κυρᾷ Θεοδώρᾳ τῇ τοῦ Κοντοστεφάνου κυροῦ 'Ιωάννου συζύγῳ ed. E. Kurtz, Vizantijskij Vremennik vol. VII, fasc. IV, Petropoli 1900, p. 10—15), — Cons. (παραμυθητικὸν εἰς τὸν σεβαστὸν κυρὸν 'Ιωάννην τὸν Κοντοστέφανον ed E. Kurtz, ibid. p. 16—25). Praeterea adgnoscenda est codicis Vindobonensis philol. Gr. 149 auctoritas, quiquidem carmen astronomicum (Carm. astr.) sub Theodori Prodromi nomine ab E. Millero editum (Notices et Extraits des manuscrits de la bibliothèque nationale vol. XXIII 2 — Par. 1872 — p. 8—39) Manassae vindicet. Quid de E. Milleri coniectura iudicandum sit, sententiarum eclogas in codice Parisino Gr. 2750 A f. 89 sqq. traditas ad Manassen referentis (Poème moral de Constantin Manassès, Annuaire de l' association vol. IX — Par. 1875 — p. 23 sqq.), peculiari commentatione docebo.

(Ecphr. fring.) servat f. 294v—296v, »sed charactere adeo minuto, intricato et prae temporis vetustate ac humore, quo permaduisse videtur, ita fugiente, ut non nisi gravissimo cum labore ac oculorum periculo perlegi possit«, quemadmodum iam a. 1647 observarat Alexander Barvoët (apud E. Millerum, Catalogue des manuscrits Grecs de la bibliothèque de l' Escurial, Paris. 1848, p. 522).

Ἔκφρασις ἁλώσεως σπίνων καὶ ἀκανθίδων τοῦ σοφωτάτου κυροῦ Μανασσῆ.

Ἐσπάνισέ ποτε καὶ ἡ Κωνσταντινούπολις λουτηρίων θερμῶν καὶ τὸ ἀναπλεόμενον μέρος τῆς Προποντίδος ἐστενοχωρεῖτο τοῖς περαιουμένοις ἐπὶ λουτρά· χαρίεις δὲ ὁ χῶρος καὶ διατριβῶν ἀνεσίμων κατάξιος, παράδεισοί τε πανταχοῦ κατάδενδροι καὶ ἀμφιλαφεῖς καὶ ναμάτων διειδῶν ἀφθονία· θάλασσα ταῖς ἠϊόσιν ἠρέμα προσπαίζει καὶ ταῖς ἠπείροις ἡμέρῳ κύματι προσγελᾷ, καὶ γίνεται ταῦτα πανήγυρις ὀφθαλμῶν, ἑορτὴ τῶν αἰσθήσεων. Ἀνῄειν κἀγώ· τῆς γὰρ σαρκὸς ὁ κνησμὸς οὕτως ἐκέλευεν· ἦν δὲ καιρὸς ὁ μετὰ τὴν τρύγην εὐθύς. Καὶ ἄρτι τε τῆς σκάφης ἐπέβαινον καὶ περὶ αὐτὰ τοῦ λουτροῦ ἦμεν τὰ πρόθυρα, καί μοί τις τῶν φίλων ἀντιμέτωπος ὑπαντᾷ καὶ φίλων ὁ χαριέστατος· καὶ ἀσπασάμενος τὰ εἰκότα καὶ προσειπὼν 'σὺ μὲν' ἔφη 'τὴν σάρκα τῷ λουτρῷ παραμύθησαι, ἐγὼ δέ σοι ἑτοιμάσω καταγωγὴν καὶ ξενιῶ σε ἐν ἐμαυτῷ καὶ δειπνίσω· κἂν εἰ βουλητόν σοι, ἐλεύσῃ καὶ στήσῃ καὶ ὄψει γλύκιον θέαμα, καὶ εἰ μή τί σοι τοὔργον, παραμενεῖς ἐφ' ἡμέρας καὶ ἀπολαύσῃ ψυχαγωγίας σωφρονικῆς'.

Ὁ μὲν ταῦτα εἰπὼν ἀπηλλάττετο καὶ μικρὸν ὥρας διαλιπὼν ἐπανῆκε· καὶ ἔτυχον ἄρτι τότε τοῖς λουτηρίοις ἀμφίοις κατακλινής· πολλὴν δὲ βίαν ἐπεισῆγεν ἕλκων εἰς τὴν ξενίαν καὶ τέλος ἐνίκησε. Τότε μὲν οὖν (ἦν γὰρ καὶ τῆς ὥρας ὀψὲ καὶ τὸ λουτρὸν οὕτως ἐπέταττεν) αὐτοῦ κατεμείναμεν, ἄρτι δὲ μικρὸν ἡ νὺξ διηυγάζετο καὶ ἦν ἀμφιλύκη· καὶ θροῦς τὴν σκηνὴν κατελάμβανεν καὶ ἦν οὐκ ἀγεννὴς παρακελευσμὸς ἀλλήλους ἀφυπνιζόντων καὶ διανιστώντων ἐπὶ τὰ ἔργα καὶ μεμφομένων τῆς βραδυτῆτος· τοιοῦτος αὐτοῖς ζῆλος τῆς ἰξευτικῆς ἐπετύφετο. Ἦσαν δὲ καὶ παιδίσκοι συχνοὶ καὶ μείρακες οὐκ ὀλίγοι, καὶ ἀνὴρ πρεσβυτικὸς καὶ παλαιγενὴς καὶ πολλῶν ἰξευτῶν Ὀλυμπιάδων μεστὸς μυρίοις τε τοιούτοις ἀγῶσιν ἐνηθληκὼς καὶ παιδοτριβῶν ἐκείνους τοὺς μείρακας ἐπὶ τοιάδε παγκράτια. Ταχὺ μὲν οὖν ἠμφιάσαντό τε καὶ ἐνεδύσαντο, (ὁ γὰρ ἐπιστάτης γέρων κατήπειγε), πτηνοῖς δὲ ποσὶν ἔσπευδον τὸ χωρίον καταλαβεῖν, ἔνθα τοῖς στρουθαρίοις ἐπιβουλεύσοντες. Εἱπόμην δὲ καὶ αὐτὸς τὸ τέλος τῆς τηλικαύτης σπουδῆς ἐποψόμενος, καὶ συνανῆλθον καὶ εἶδον τὸ πρᾶγμα, καὶ ἦν ἀληθῶς χάριεν καὶ ἡδονάς μοι τῇ ψυχῇ ἐνεστάλαξεν.

Ἔσχε δὲ ὧδε τὰ κατ' αὐτό· τί γὰρ κωλύει καὶ τῇ γραφῇ κατατρυφῆσαί με τοῦ θεάματος; Χῶρος ἦν ὀλίγος ἄποθεν τῆς σκηνῆς, ἐν ᾗ κατελύομεν· καὶ ὁ χῶρος οὔτε παντελῶς ἠνεμόεις καὶ ὑπερύψηλος οὔτε τις ταπεινὸς καὶ χαμαίζηλος, ἀλλὰ τῆς μὲν κατατρύγης ὑψηλότερος, εὐήνεμος δέ τις καὶ εὔπνους καὶ αὔρας ἠπίας ὑποδεχόμενος· καὶ βοτάνη δὲ ἦν εὐώδης ἐν τούτῳ παντοδαπὴς καὶ τοῖς ποσὶν ὑποκινουμένη τῶν ἰξευτῶν ἀμβροσίας οἷον ὀσμὴν ἐπὶ τὰς ῥῖνας ἀνέπεμπεν ὑπὲρ τὴν ἀρωματοφόρον, ὑπὲρ τὴν Ἰνδικήν· τοσοῦτον αὐτῇ τῆς εὐωδίας τὸ περιόν. Ὑπέστρωτο δὲ καὶ πόα πρασίζουσα, δαψιλής, καλὴ μὲν ὑποπίπτειν ὀφθαλμὸν καὶ ἀφήν, μαλακὴ δέ τις ἀνακλιθῆναι καὶ ἁπαλὸν σχεδιάσαι χαμεύνιον. Ἐνταῦθα τὰ ἐν χερσὶν ἀποφορτισάμενοι ἔφερον δὲ ἄλλος ἄλλο τι τῶν ἐπιτηδείων πρὸς ἄγραν ἔργων τε εἴχοντο (πῶς ἂν εἴποις;) ἐπιμελῶς καὶ ῥάβδους ἀφύλλους ἐπήγνυον κατὰ γῆς· αἱ δὲ ῥάβδοι καθ' ἑαυτὰς μὲν ἄλοποί τινες ἦσαν καὶ ἄχλοοι· προελέπισε δὲ αὐτὰς ὁ χορηγός, κλῶνας δὲ δάφνης εἶχον συμβεβλημένους καὶ ἀλλοτρίαν φυλλάδα περιεβέβληντο καὶ ὀθνείοις ἐχλόαζον ὅρπηξι. Στοιχηδὸν δὲ κατετάσσοντο· εἰκάσειεν ἄν τις, ὡς φυτῶν εἰσιν ὄρχατοι· καὶ αἱ μὲν σχῆμα ἔσωζον ἑτερόμηκες καὶ δάφνη πολλὴ καὶ ἀμφιλαφὴς ἐκείνας παρεπύκαζεν, αἱ δὲ κυκλικῶς ἐτορνεύοντο, πᾶσαι δὲ ὅμως κόμας δαφνῶν περιέκειντο. Ἐπὶ τούτοις λύγους ποθὲν ἐξενεγκόντες λεπτὰς ἰξῷ κατεκάλυπτον καὶ ταῖς ἐνδαφνωθείσαις ἐκείναις ῥάβδοις προσέφυον καὶ τεχνηέντως ἄγαν τὴν παιδιὰν διετίθεντο. Κατέταττε δὲ πάντα ὁ πολιόθριξ ἐκεῖνος ὁ πέμπελος, στρατάρχης [δ'] ἂν εἴποι τις, πολλοῖς πολέμοις ἐγγυμνασθείς. Οἱ δὲ παιδίσκοι παρέφερον φρουρίοις πλεκτοῖς ἐγκεκλεισμένα χειροήθη στρουθάρια· αἰγιθῆλαι δὲ ἦσαν καὶ σπῖνοι καὶ ἀκανθίδες καὶ ἕτερα μείζονα ἢ κατὰ σπίνους, βαρυφωνότερα· οὐκ οἶδα τούτων τὸ ὄνομα· περιέφερον δὲ καὶ ἄλλο στρουθίον περικαλλές, ὡραῖον τὴν ὄψιν, καλὸν ἰδέσθαι, λάλον ἀκοῦσαι, ἐπιτερπὲς ὁμοῦ καὶ πολύφωνον· ἡ κεφαλὴ φοινικῷ περιήνθιστο βάμματι, τὸ δὲ πτερὸν ποικίλως ἐχρώζετο· ἀγλαόπτερον ἦν, περιπόρφυρον ἦν, κατάστερον, χρυσεόπτερον. Ἀστρόγληνον ὁ γέρων ἐκάλει τὸ στρουθίον ἐκεῖνο, τὸ ἐρυθρόκρανον, καὶ ἐνεκαυχᾶτο τῇ τοῦ ζῴου καλλιγλωττίᾳ καὶ ὀλβιοδαίμονα ἐκάλει τὸν ἔχοντα ὑπὲρ Κροῖσον, ὑπὲρ Ἀντίοχον. Τὰ τοίνυν λάλα στρουθία μακρὰν ἀλλήλων ἀπάγοντες, οὕτω κρίνοντος τοῦ τῆς παιδιᾶς προάρχου, τὸ ἐντεῦθεν ἐκάθηντο καὶ περιέχασκον τὸν ἀέρα καὶ τὰς νεφέλας περιεσκόπουν· ἅμα τε οὖν πᾶσαν ἐσκευάσαντο τὴν ἐπιβουλήν, καὶ τὰ χειροήθη στρουθία τὸν ἀέρα περιεβόμβει καὶ κατήχει τῆς χειροποιήτου λόχμης ἐκείνης καὶ ὁ ἀὴρ μικρὸν ὑπεψάλαξε καὶ λεπτὴν ὁμίχλην κατέχεε καὶ ἀγέλαι μικροπτερύγων περιώφθησαν· καὶ ὁ γέρων πρῶτος ᾐσθάνετο τῆς βοῆς καὶ σιγὴν τοῖς παιδαρίοις παρεκελεύετο· ἦλθον ἔπειθ' ὅσα φύλλα τε καὶ ἄνθεα καὶ ὑπὲρ τὰς ἐναερίους μυίας, ὑπὲρ τὰς λειμωνίους βοτάνας, καὶ βοὴ κατεῖχε τὸ πᾶν καὶ ἐπευφήμησαν οἱ παιδίσκοι τῷ γινομένῳ· καὶ ὁ γέρων αὐτοῖς ἐχαλέπαινε, μικροῦ δ' ἂν καὶ πληγὰς προσετρίψατο τοῖς ἀθλίοις· τὰ δὲ χειροήθη

στρουθία διερρήγνυντο ταῖς βοαῖς· καὶ τὰ ὑπερπετόμενα τοῖς ἰξοφόροις δόναξιν ἐπεκάθισαν, καὶ τὰ μὲν ἑαλώκεσαν, τὰ δ' ὑπεξέφυγον· ὁ γὰρ ἰξὸς νοτισθεὶς οὐκ ἔσωζε τὸ ἐχέκολλον. Καὶ ὁ σταδιάρχης γέρων ἐκεῖνος ἐνεβριμᾶτο καὶ ἄγριον ἔβλεπε καὶ τῆς ἀμελείας ἐμέμφετο συχνάς τε τῶν ἑαυτοῦ μηρῶν κατεπῆγε πληγὰς καὶ τὰς χεῖρας πυκνὰ περιέτριβε καὶ ὥσπερ τι παθὼν βαρυσύμφορον ἐπωδύρετο καὶ κατηύχετο τῶν παιδίσκων καὶ παλαμναιοτάταις ἐπῆγεν ἀραῖς καὶ γῆν καὶ ἥλιον ἐμαρτύριστο καὶ τὰς τῆς ἄγρας ἐφόρους δυνάμεις ἐπεβοᾶτο. Τὰ τοίνυν ἑαλωκότα συλλέξαντες ἐφιλοκρίνουν τὸ θήραμα· καὶ τὸ μὲν θῆλυ πᾶν τῷ φόνῳ ἠπείγετο καὶ κατὰ βόθρου τινὸς ἠκοντίζετο· ἦσαν γὰρ καὶ τάφρον ταῖς ταλαιπώροις ἐπινομεύσαντες, Ἅιδην, ἂν εἴπε τις, ἢ τάφον πολυχανδῆ· τὰ δὲ ἄρρενα διελόντες τὰ μὲν ἐζώγρουν καὶ φυλακῇ παρεδίδοσαν, τῶν δὲ ἀπέδυον τὰ πτερὰ καὶ ὤπτων πυρὶ καὶ τοῖς ὀστέοις κατέπινον· ἔτυχον γὰρ αὐτοῦ που καὶ πῦρ ἀποθησαυρίζοτες. Ὁ δὲ καθηγητὴς ἐκεῖνος, ὁ ταξιάρχης, παρακληθῆναι οὐκ ἤθελεν, ἀλλ' ἐδυσφόρει καὶ ἤλυε καὶ ἀπὸ καρδίας ἐστέναζεν· οὐχ οὕτως Ἰωνᾶς ἐπὶ τῷ μαρασμῷ τῆς κολοκύντης ἐβαρυθύμησε· καὶ πάλιν ἰξωτὰς λύγους ὑπήλειφον καὶ τὸν κατὰ τῶν στρουθίων ἤρτυον δόλον. Καὶ ἀγέλη πολυπληθὴς διαπτᾶσά ποθεν τὴν κατήφειαν ἔλυεν· ἅπασα γὰρ ἄρδην ἑάλω καὶ πέπτωκεν, ὡς μηδ' ἄγγελον τῆς ἀγγελίας ἀπολειφθῆναι. Τότε πρῶτον καὶ τὸν παλαίτατον ἐκεῖνον χοράρχην τὸ νέφος τοῦ προσώπου λύσαντα ἔβλεψα καὶ ἱλαρὸν ὑπομειδιάσαντα· ἀλλ' ἦν τὰς ὀφρύας ἀνεσπακὼς καὶ ἐβρενθύετο καὶ ἐμεγαλαύχει καὶ περιεφρόνει τὸν ἥλιον καὶ ἐπ' ἄκρων ἔβαινε τῶν δακτύλων καὶ τὴν ἐπιτυχίαν τοῦ θηράματος ἐμακάριζε· καὶ οὐκέτι φορητὸς ἦν κομπάζων καὶ μεγαλοφρονῶν· οὐχ οὕτως ἐπ' Αἰγύπτῳ Καμβύσης, οὐχ οὕτως ἐπὶ Βαβυλῶνι Μεγάβυζος.

Συμπεφόρητο τοίνυν τὰ ἠγρευμένα καὶ ἦν ἀστεῖον τὸ θέαμα· τὸ μὲν ἐβέβλητο κατὰ κεφαλῆς, τοῦ δὲ κατίξωντο τὰ πτερύγια, ἑτέρου γαστὴρ καὶ πόδες ἐσπίλωντο, τὰ δὲ στήθη πᾶσι καὶ τὰ ῥάμφη ἠνοίγετο· καὶ ἦσθμαινον ἔσχατα καὶ ἔπνεον λοίσθια. Ἐσεμνηγόρει τοίνυν ὁ γέρων καὶ πολλὴν εὐθηνίαν κατεμαντεύετο· ἐπὶ τούτοις τὰς λύγους τὰς κατίξους τῶν στρουθίων ἀπέσπα καὶ χείλεσι καὶ δακτύλοις ἀπεκάθαιρε τῶν πτερῶν· καὶ ὁ ἰξὸς προσέφυ τῷ πώγωνι καὶ εἴχετο ἀπρὶξ τῶν τριχῶν. Ὁ δ' οὔτι προσεποιεῖτο οὐδ' ἐπεστρέφετο, ἀλλ' ἐμαίνετο ἔσχατα καὶ ἐλύσσα ἀκάθεκτα.

Ἦν ταῦτα καὶ ἐπὶ τούτοις ἕτερόν τι συνέπεσε χαριέστατον· τανυσίπτερος ὄρνις ἀκανθίδα ἐδίωκε, καὶ ὁ μὲν ἐφέρετο μετὰ ῥοίζου, ἡ δ' ὑπεξέφευγεν· ὁ δὲ ἐδίψα καταλαβεῖν, ἡ δ' ἐμηχανᾶτο διαφυγεῖν καὶ πολλοῖς ἐκέχρητο ἑλιγμοῖς· καὶ τὴν πόαν ἐπήρχετο καὶ παντοδαπός τις ἐγίνετο σπεύδων καταλαβεῖν τὸν στρουθόν. Ὡς δ' ἀπειροκάλως ἐποιεῖτο τὸν πετασμὸν καὶ ἐνικᾶτο θυμῷ, (ἡ γὰρ βελτίστη γαστὴρ ἤπειγε), λανθάνει ταῖς λύγοις ταῖς κατίξοις περιπαρείς, καὶ παθὼν μᾶλλον ἢ δράσας καὶ τῆς ἄγρας ἀποτυχὼν καὶ ἀγρεύσιμος γεγονώς· καὶ ὁ μικροῦ ὑπερνέφελος παιδαρίων ἐψηλαφᾶτο χερσί. Τὰ δ' ἐπὶ τούτοις

τίς ἂν γραφῇ παραστήσειεν; ἀλαλαγμὸς ἐγίνετο καὶ βοή, καὶ θροῦς τὸν ἀέρα ἐγέμισεν· εἶπεν ἄν τις, ὡς κατείληπται φρούριον ἢ πύργοις στέφανα πεπτώκασι· τοσοῦτος βόμβος ἐγίνετο, τοσοῦτος γέλως ἀνέβαινε· καὶ ἦν δρόμος οὐκ ἀγεννὴς καὶ ἄλλος ἄλλον προφθάνειν ἠπείγετο. Τότε δὴ καὶ ὁ γέρων, ὁ τῆς τελετῆς ταύτης πρωτόαρχος, τοῖς μειρακίσκοις ἀντηγωνίζετο, καὶ συνέτρεχε καὶ ἀντέτρεχε, τὴν πολιὰν θέμενος παρ' οὐδέν, κἀνταῦθα μόνον ἀγνοήσας αὐτόν· ὑπὸ γὰρ τῆς ἡδονῆς κατεφέρετο καὶ ἐνεθουσία καὶ οὐχ οἷός τε ἦν ἑαυτὸν κατέχειν, ἀλλ' ἐξήνιος ἐγένετο καὶ ἀχάλινος. Ἀλλ' οὐκ ἦν ἄρα, ὡς ἔοικε, τῶν γινομένων οὐδὲν ἀνεκδίκητον· ἐνεμέσησεν ἡ Δίκη τῷ γέροντι καὶ ἀμερίμνως φερόμενος ἀῤῥίζῳ προσκόπτει καὶ καταπίπτει ἄθλιος ἐπὶ στόμα · καὶ τὸ μὲν ἐπίκρανον ὡς ἐκ μηχανῆς ἀπεδισκεύθη ποῤῥοτέρω καὶ ὑγροπήλῳ πέλματι ἐπεκάθισεν, (ἦν γάρ τι τῆς γῆς ἐκείνης μέρος ὑπόπηλον), αἱ δὲ παλάμαι ἐδρύφθησαν καὶ τὸ στόμα κόνεως ὁμοῦ καὶ χόρτου πεπλήρωτο καὶ τῷ φορυτῷ ἐπιβέβυστο. Ἀλλ' οὐκ ἔμελε τοῦτο τῷ γέροντι, ἀλλ' ὀρθιάσας αὐτὸν πάλιν δρομικωτέρως ἐφέρετο. Τότε πρώτως ἔγνων, ὡς προθυμία καὶ γῆρας νικᾷ καὶ πόθος ὑποθερμαίνει τῆς ἡλικίας τὸ παρειμένον καὶ ἀκμαιότερον τίθησι· καίτοι γὰρ δαίμονι τοιούτῳ παλαίσας καὶ κινδυνεύσας ἐκκρουσθῆναι καὶ τοὺς ὀδόντας, ὅμως ὑπερπεπήδηκεν, ὑπερέδραμε τὰ μειράκια καὶ πρῶτος ἐπὶ τὸν ὀρνιθοφόντην ἦλθεν ἱέρακα καὶ τῆς εὐαγρίας πρωτάγγελος γέγονε, τοῦ δ' ἐπικράνου καὶ τῶν χειλέων καὶ τῆς τῶν παλαμῶν ὑποδρύψεως οὐδ' ὄναρ ἐμέμνητο. Ἐγὼ δὲ γέλωτι ἐξέθανον, ὡς εἶδον ἀκαλυφὲς τὸ κρανίον καὶ ἀπολάμπον τῇ φαλακρώσει· καὶ ἐῴκει μοι τοιοῦτος εἶναί τις ἄνθρωπος, οἷον τὸν κατὰ Διονύσου γέροντα τὸν ναρθηκοφόρον Ἑλλήνων παῖδες ἱστόρησαν· ἐψίλωτο κρανίον τῷ γέροντι, κόμη τῆς κορυφῆς οὐδαμοῦ, αἱ ὀφρύες καθῆντο ἐπὶ τὰ βλέφαρα λάσιαί τινες καὶ κατάλευκοι, ἡ ῥὶς ἁδροτέρα πρὸς τῷ τέλει καὶ δίκην κορύνης ὀγκουμένη καὶ ἀποσφαιρουμένη· δασὺ τὸ γένειον, κατάλευκον καὶ αὐτό· τῶν δὲ ἱματίων τὸ κάτω πρὸς τὴν γῆν ἐπὶ τὸ ἄνω ἀνέζωστο· αἱ ἐμβάδες εὐρεῖαι, πολυχανδεῖς, εἶπεν ἄν τις, ὡς τραγικοί τινες κόθορνοι καὶ γίγαντος ἂν πόδας ἠδύναντο δέξασθαι. Καὶ τοιοῦτός τις ὢν τὴν μορφὴν ἐπανήρχετο καὶ ὑπόπηλος, καὶ τοῖς μὲν πολλοῖς γέλωτα ἐποίει, ἐδεδίεσαν δὲ ὡς φόβητρον τὸ γερόντιον καὶ ὑπ' ὀδόντα ἐγέλων, καὶ πάλιν ψεκὰς ἁδροτέρα καὶ τὰ στρουθία συμφύλων ἐφόδους στρουθίων ἐμήνυον. Καὶ ἐκαρτέρει ὁ γέρων ἀκαλυφὴς καὶ ἐσκιαμάχει τῇδε κἀκεῖσε στρεφόμενος· καὶ παιδίσκος ὑπεψιθύρισεν ἁπαλὸς καὶ δριμεῖα χολὴ ἐπὶ τὰς ῥῖνας ἦλθε τῷ γέροντι· καὶ ῥάβδου βαρείας λαβόμενος ἐξήλαυνε τοῦ χώρου τὸν δύστηνον· καὶ ὁ μὲν ᾗ τάχους εἶχεν ἐξέφυγεν, ὁ δ' ἀνὰ κράτος ἐδίωκε. Καὶ πάλιν ὄμμα Δίκης τῶν γινομένων ἐπίσκοπον· καὶ ἐπὶ στόμα πάλιν ὁ γέρων καὶ ἐξεκρούσθη, οἶμαι, τῶν ὀδόντων συχνούς, ἀλλ' οὐδ' ἐπὶ βραχύ τι προσεποιήσατο. Τί πρὸς ταῦτα ὁ Λάκων ἐκεῖνος, ὃς σκύμνον ἀλώπεκος ὑφελόμενος καὶ φέρων ἐπι-

κολπίδιον καὶ ἀμυσσόμενος ὑπ' αὐτοῦ καὶ φερεπόνους τοὺς σπαραγμοὺς καρτερῶν παρέπεμψεν αὐτὸν τῇ γαστρί;

Μετ' οὐ πολὺ καὶ σπίνοι ὑπερπετώμενοι ὤφθησαν, καὶ εἶδον ἄγρας τρόπον καινότερον ἕτερον· μήρινθος ἦν τετανὴ καὶ λεπτή· ταύτης τὸ ἄκρον τῇ τῶν καταδάφνων ῥάβδων ἐκείνων φυτείᾳ προςδέδετο· ἐξήρτητο τῆς μηρίνθου καὶ ζῶσα σπίνος παλαιτέρα, τὸ δὲ ἕτερον τῆς μηρίνθου παιδαρίσκος πεπίστευτο· ἅμα τε οὖν κατὰ πολλοὺς οἱ σπίνοι προςῄεσαν, στρατός, ἂν εἴπῃ τις, μυριοπληθής, καὶ ὁ παιδαρίσκος ἠρέμα τὴν μήρινθον ἀνεσόβει καὶ τὴν ταλαίπωρον σπίνον ὑπανεμίμνησκε πετασμοῦ· ἡ δὲ οὐχ ἑκοῦσα μέν, ἐπτερύγιζε δὲ καὶ ἐπεχείρει πετάζεσθαι καὶ ἐπώλευε τὸ ὁμόφυλον. Τότε ἄφθονος ἄνθη ἐγένετο καὶ τότε βόθρος πεπλήρωτο καὶ τὰ πλεκτὰ ἐστενοχώρητο φρούρια, πρὸς ἃ παρέπεμπεν τὰ ζωγρούμενα· Ἐπὶ τούτοις ὁ ξεναγωγὸς δεῖπνον ἡτοίμαζε καὶ αὐτοσχέδιον παρέφερε τράπεζαν· καὶ οἱ μὲν ἄλλοι καὶ τροφῆς ἐνεπίμπλαντο καὶ τὰς ὄψεις είστίων· συχνὰ γὰρ κατέπιπτε τὰ στρουθάρια· ὁ δὲ γέρων ἄσιτος ἐκαρτέρει καὶ ἄποτος καὶ μόνῃ τῇ θέᾳ τῶν ἰξευομένων ἐβόσκετο· εἰ δὲ μῦθος τὸ κατὰ ζωγράφον Νικίαν, ὡς ἄρα τῇ γραφῇ προςταλαιπωρούμενος ἐλανθάνετο καὶ τροφῆς, ἀλλ' ἐγὼ τοῦτον τὸν ἄνθρωπον ἔβλεψα τὴν ἀτροφίαν καὶ ἐς βουλυτὸν . . . τείναντα, δροσοφάγον, ἂν εἴπῃ τις, ἢ ἀερότροφον τέττιγα. Ἤδη δὲ καὶ τοῖς παιδαρίοις πῦρ ὑπανεκαίετο ζήλου καὶ τὰ θεραπόντια ἔπλυνον ὕβρεσι καὶ ἀλλήλοις ἐλοιδοροῦντο καὶ ἕτερος ἑτέρῳ προςῆγεν αἰτίαν· ἂν γὰρ χωλῷ, φησί, παροικήσῃς, ὑποσκάζειν μαθήσῃ· καὶ ἕκαστος ἐφιλοτιμεῖτο τὸν ἕτερον ὑπερβάλλειν· οὕτως ἦν ὁ ζῆλος δαιμόνιος, οὕτως ὁ ἔρως ἐλάνθανεν εἰς μανίαν περιτρεπόμενος· καὶ πάλιν ἀγέλαι τυχναὶ τὸν ἀέρα περιεσύριζον καὶ τὰ στρουθία προφθάνειν ἄλληλα πρὸς τὴν ἀπώλειαν ἔσπευδε· καὶ ἅμα ἓν ἐξηπάτητο, καὶ ταῖς χειροτμήτοις δενδράσιν ἀπέρριπτον ἑαυτά· καὶ ἐπληροῦτο τὸ δάπεδον καὶ οἱ μειρακίσκοι πάντες ἐν ἔργοις καὶ οὐδεὶς ἦν ἀεργός· οἱ μὲν τὰ ἑαλωκότα συνέλεγον, οἱ δὲ τὰς λύγους ἐκάθαιρον, ἄλλοι νέον ἰξὸν περιέχριον, ἕτεροι στρουθοφόνται ἐγίνοντο· τοῖς μὲν χεῖρες ἦσαν λυθροσταγεῖς, τῶν δὲ κατάπτεροι δάκτυλοι, τῶν δὲ τότε παλάμαι κατίξωντο· τῶν μὲν ἀνέζωστο τὸ χιτώνιον, τῶν δὲ ἀνεδέδετο βόστρυχος· ὁ μὲν ἔμελεν, ὁ δ' ἔτρεχεν, ὁ δ' ἀνθυπεστρέφετο. Καὶ ἦν ἡ ἄγρα ἐπιτυχής· εἰ δέ πού τι καὶ ἐξέφυγεν, ἄλλος ἄλλον ἐποιεῖτο ὑπαίτιον καὶ ἐπαθαίνετο ἕκαστος καὶ ἕτερος ἕτερον πλημμελείας ἐγράφετο. Εἶδον ἐγὼ τότε στρουθίον ἐν χερσὶν ἰξευτοῦ καὶ τὴν τῆς φύσεως φιλοτιμίαν ἐθαύμασα καὶ ὅσον πλοῦτον κάλλους αὐτῷ ἐδαψιλεύσατο· τὸ ῥάμφος ὀξὺ καὶ λεπτόν· μέλαινα κεφαλή· τὸ ἐπινώτιον ἅπαν ὑπόκιρρον· μελανόπτερον, ὑπέλαμπε δὲ καὶ κάτωθεν κρόκεον βάμμα καὶ ἐῴκει τοιοῦτον, ὡς εἴ τις βύσσῳ συνανυφαίνοι χρυσόν· καὶ ἦν τῷ πτερώματι κόσμος ἀνεπιτήδευτος· δειρὴ καὶ στῆθος ὑπόχρυσα· ὅσον ὑποπύγιον κεχιόνωτο! εἶχε μὲν ἐνιαχοῦ καὶ στίγματα μελανώματος· γοργὸν ἦν, ἀεικίνητον ἦν· εἴπῃς ἄν, ὡς πυρρίχιον ὀρχεῖται· μέλος δὲ ἀπὸ στήθους

ἀνέπεμπε γλύκιον· οὕτως ἦν χάριεν ἰδέσθαι, οὕτως ἀκοῦσαι καλόν. Ἐμοὶ δὲ ἀσπαστὸν ἐδόκει το χρῆμα τῆς ἄγρας ταύτης, ἐπιτερπὲς ὁμοῦ καὶ οὐκ ἔγκοπον καὶ πυκνὰ τούτου τῷ ξεναγῷ ὑπεσήμαινον. Καὶ ὃς ‘τοιάνδε σοι’ ἔφη ‘προπίνω φιλοτησίαν, οὕτως ἐπέραστον, οὕτω τερψίθυμον· ἀλλ’ εἰ βουληθείης, ἀντιφιλοτιμήσῃ καὶ σὺ καὶ τὰ ὁραθέντα παραδώσεις γραφῇ· οὕτω γὰρ ἀντιξεναγήσεις ἡμῶν καὶ αὐτός· καὶ ἐσεῖται ἡμῖν τὰ τῆς ἄγρας ταύτης ἐπόψια’. ‘Ἔσται ταῦτα’ ἔφην· ‘καὶ ἀντιπίομαί σοι γραφῆς φιλοτησίαν ἐγὼ καὶ ὑποτυπώσομαί σοι τήνδε τὴν καλὴν τελετήν, ἐπειδὰν καιροῦ εὐθέτου λάβωμαι’. Καὶ τοίνυν ἐμαυτὸν τῷ πράγματι δέδωκα καὶ τῷ ξεναγῷ χαριζόμενος καὶ ἐμαυτῷ περισώζων τὴν τῶν θεαμάτων ἀνάμνησιν.

Adnotatio critica.

L e m m a: ἁλώσεως adieci ex Esc. ap. Mill. p. 211 || σπίνων] σπινῶν falso ex Urb. enotavit C. Stornajolo, codd. Urbin. Gr. bibl. Vatic. (Romae 1895) p. 254, neque aliter ex Esc. refert Miller l. c. Quae quidem forma ad nomen ἡ σπίνα (cf. Hesychius s. v. vol. IV p. 66 Schmidt, nec tamen Alexis fr. 84, 3 Kock) aut ὁ σπινὸς pertinere potest, attamen substantivum σπίνα opusculi nostri sermo respuit l. 52. 53. 151. 154. (155). 157, paroxytonon σπίνος vindicat Herodianus vol. I p. 176, 17 (Lentz), unde syllabam σπι perperam in Urb. circumflexe promi (cf. 52. 151. 154. 157) elucet cf. etiam Ephippus fr. 3, 8 (vol. II p. 252 K.) τίλλειν τε φάττας καὶ κίχλας ὁμοῦ σ π ί ν ο ι ς. Idem cadit in monodiam de astrogleno (A s t r o g l.) ineditam (Vindobon. philol. Gr. 149 f. 154ᵛ sqq.), utpote quae quinquies σπίνος (sive potius σπῖνος)[1], numquam σπίνα exhibeat || l i n. *1* ἐσπάνισέ ποτε] ἐσπάνισε τότε Esc., si fides habenda est Millero, qui narrationis initium et finem profert || voci λουτηρίων non substantivi (cf. Aeschyl. fr. 366), sed adiectivi vis subiecta est cf. 15 τοῖς λουτηρίοις ἀμφίοις || *2* Προποντίδος] προπομπίδος || *5* ante ταῖς librarius καὶ litura sustulit || *8* τὲ || *9* μοι τὶς || ἀντιμέτωπος] ἀντιμέτωπον || *10* τῷ λουτρῷ] τοῦ λουτροῦ, quae lectio etiam vocis ὕδασι defectum significare potest || *12* sq. μήτι σοι || *19* ἀγεννὴς] ἀγενὴς cf. ad 112 || *21* συχνοὶ] συγχνοὶ, quae varietas recurrit 73; at cf. 147. 162. 172 || καὶ inc. 217ᵛ || *23* τὲ || *25* ἠμφιάσαντό] ἠμφιώσαντό (ac praeterea accentus notam super α librarius induxit) || *32* οὔτέ

---

[1]) Scribendi ratio σπίννος, quae quidem in codice Laurentiano Conv. Soppr. 627 compareat, diserto Photii testimonio damnatur vol. II p. 171 (Naber) σπίνος· διὰ τοῦ ἑνὸς ν λέγουσιν. Ἀριστοφάνης Ταγηνισταῖς (fr. 525). Etiam Chron. 165 perperam forma σπῖνοι circumfertur.

τις || *33* vox κατατρύγη aliunde non innotuit; Lexicis addi posunt insuper ἀγλαόπτερος 56, ἀερότροφος 167, ἀντιξεναγεῖν 193 sq., δροσοφάγος 166[1]), ἐνδαφνοῦν 48, ἐπινομεύειν (?) 79, ἐρυθρόκρανος 58, καλλιγλωττία 58[2]), κατάδαφνος 153, κάτιξος 98. 107, κατιξοῦν 95. 178, λυθροσταγής 177, ὀρνιθοφόντης 128, παραπυκάζειν 46, προλεπίζειν 42, στρουθοφόντης 176[3]), συνανυφαίνειν 185, ὑγρόπηλος 120, ὑπόδρυψις 129, ὑποπύγιον 187, χρυσεόπτερος 57[4]) || εὐήνεμός δέ τις || *34* εὔπνους] ἔμπνους || *35* παντοδαπὴς intactum reliqui, etiamsi 105 forma παντοδαπὸς usurpatur cf. ad Ecphr. Tell. 17 p. 86 || οἷον] οἵαν (pro οἷα?) || *36* ῥίνας || *38* ὀφθαλμὸν] expectatur εἰς ὀφθαλμὸν (sive potius ὀφθαλμοῖς cf. Mon 55 ὅσαι τε ὀφθαλμοῖς ὑ π ο π ί π τ ο υ σ ι) || ἀφὴν || *40* ἄλλό τι || τὲ || *41* ῥάβδοι] de forma ῥαβδος cf. ad Ecphr. pumil. 44 || *42* ἄλοποί] ἄλοξοί || *42* sq. χορηγὸς] codicis compendium potius formam χορηγικὸς videtur designare; idem homo χοράρχης adpellatur 88 (quam vocem Graecitati reddidit Kumanudes, συναγωγὴ λέξεων ἀθησαυρίστων p. 377), tum πρόαρχος 61, πρωτόαρχος 114, σταδιάρχης 72, στρατάρχης 50, ταξιάρχης 83 || *43* κλώνας || *45* εἰκάσειεν inc. f. 218r || φυτῶν εἰσὶν || *47* πάσαι || *48* λεπτὰς] λεπτοὺς cf. 175, unde simul corruptelae ratio 98 et 107 perlucet ac praeterea 85 ἰξωτοὺς in
ω
ἰξωτὰς mutandum esse sequitur || *48* ἐνδαφνθείσαις || *49* παιδιὰν] πεδιὰν cf. 60 || *50* δ' expunxi || *52* σπῖνοι || *53* ante βαρυφωνότερα videtur excidisse καὶ || *56* φοινίκω || *57* ἀστρόγληνον] ἀστρόγλινον || *62* τὲ || *64* ὑπεψάλαξε] ὑπεψάλλαξε (sed primitus ὑπεμάλλαξε exaratum erat) || *65* περιώφθησαν] περιώπτησαν || *66* τὲ || *67* μυίας] μύας, quam formam servare non audeo cf. Chron. 1950. 1955. Similiter Exc. am. II 12 Hercheri coniecturam μυῖαι pro μύαι comprobat codex Vindob. philol. 307 f. 6v; cf. insuper »Christophorea« ad I (n. CXXII Rocchi) 52 (»Eos« V — 1899 — p. 9) || *68*
τι
ὅ] ὁ (sic) || *69* μικροῦ inc. f. 218v || *70* sq. δονάκεσιν m. pr. (m. sec. in Urb. non diversa est ab ipsius librarii manu) || *71* ἐπεκάθισαν] ἐπεκάθησαν cf. 121 || *71* τάδ' || *71* sq. νοτισθεὶς] νοτησθεὶς || *72* γέρων] γέρον || ἐνεβριμᾶτο] ἐνεβρυμᾶτο || *73* συγχνὰς (cf. 21) τὲ || *74* χεῖρας || ὥςπέρ τι || *79* ταῖς] τοῖς || 79 τάφρον] τάφον (propter 80, ubi τάφος translato sensu usurpatur cf. Chron. 4019 sq. καὶ γέγονε πολυχανδὴς Ἅιδου γαστὴρ πανδόχου | καὶ τ ά φ ο ς μυριόνε-

---

[1]) Cf. δροσοφαγία Ecphr. Tell. 170, quae vox itidem in Lexicis desideratur.

[2]) Cf. adiectivum Manassae proprium καλλίγλωττος Chron. 3823. 4694. 4918. 5370 Astrogl. f. 154v.

[3]) Cf. στρουθιοφόντης Chron. 6569.

[4]) Extat etiam Astrogl. f. 154v κεῖται νέκυς ὁ μελιγρόφωνος (alibi non legitur), ὁ χ ρ υ σ ε ό π τ ε ρ ο ς ἀπηγλάϊσται, ὁ εὐγενὴς ἐν στρουθοῖς καὶ καλλίστομος (Lexicis adiungi potest) ᾤχετο. Forma χρυσόπτερος de cygno adhibetur Chron. 6689.

κρος cl. 1050) || ἐπινομεύσαντες] legendum videtur ὑπονομεύσαντες cf. Exc. am. II 65 ὄντως ὁ βόθρον τοῖς ἐγγὺς ὑ π ο ν ο μ ε ύ ω ν φόνου et in codice Vindob. philol. 307 f. 8ʳ ὁ δὲ θανάτου βάραθρον ἄλλοις ὑ π ο ν ο μ ε ύ ω ν. Etiam apud Achillem Tatium III 8 ἔοικεν ἐ π ο ρ ύ τ τ ε ι ν τὸ τραῦμα suspicionem movet ἐπορύττειν (ὑπορύττειν Wakefield, διορύττειν Hercher) || *80* διελόντες] διελθόντες || *82* ὃ δὲ cf. 100. 103. 104. 145. 179 || *84* Ἰωνᾶς] cf. cap. IV || *85* ἰξωτὰς λύγους] ἰξωτοὺς λυγοὺς cf. ad 48 || *86* διαπτᾶσα ποθὲν || *87* μὴδ' || *89* καὶ inc. 219ʳ || *90* sq. καὶ περιεφρόνει τὸν ἥλιον καὶ ἐπ' ἄκρων ἔβαινε τῶν δακτύλων] Aristophanis versus respicitur Nub. 225 (= 1503) ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον, in quo contemnendi notionem Manasses voci περιφρονῶ vindicat tum ἀεροβατῶ locutione proverbiali commutat, qua de cf. Lucianus Dial. Deor. XI 2 ἐπ' ἄκρων τῶν δακτύλων βεβηκυῖα, Libanius vol. IV p. 162, 19 ἐπ' ἄκρων πορεύονται δακτύλων. Eadem ratione versum Sophocleum Ai. 1230 ὑψήλ' ἐκόμπεις κἀπ' ἄκρων ὡδοιπόρεις explanat Scholiastes: ἐπ' ἄκρων δακτύλων ἔβαινες γαυριῶν (cf. etiam Otto, d. Sprichwörter und sprichwörtlichen Redensarten d. Römer — L. 1890 — p. 117 n. 14), quamquam aequo iure ὀνύχων vel ποδῶν apte suppleri potest (cf. e. gr. Euripides Bacch. 709 ἄκροισι δ α κ τ ύ λ ο ι σ ι διαμῶσαι χθόνα, Iphig. T. 266 ἄκροισι δ α κ τ ύ λ ο ι σ ι πορθμεύων ἴχνος, — El. 840 ὄ ν υ χ α ς ἐπ' ἄκρους στὰς κασίγνητος σέθεν, Cycl. 159 ὥςτ' εἰς ἄκρους γε τοὺς ὄ ν υ χ α ς ἀφίκετο, — Ion. 1166 ἐν δ' ἄκροισι βὰς π ο σ ί), nisi potius substantivum τὰ ἄκρα in censum venit cf. Posidippus Anth. Plan. XVI 275, 3 τίπτε δ' ἐ π' ἄ κ ρ α βέβηκας cl. Apollonio Rhodio Arg. I 219 ἐ π' ἀ κ ρ ο τ ά τ ο ι σ ι ποδῶν || *92* Αἰγύπτῳ] Αἰγύπτου || *93* post Μεγάβυζος nescio an verbi lacuna statuenda sit cf. 84 sq. || *95* κατίξωντο] κατίξωνται || *98* τὰς λύγους τὰς] τὰς λύγας τοὺς cf. ad 48 || *100* ὃ δ' cf. 82 || *102* τανυσίπτερος] τανισίπτερος || *103* et *104* ἡ δ' cf. 82 || *105* σπεύδων] σπεύδουσα || *106* τὸν στρουθὸν] malim τὴν

ν

στρουθὸν (= τὴν ἀκανθίδα) || *111* εἶπεν inc. f. 219ᵛ || *112* ἀγεννής] ἀγενὴς cf. 19 || *115* αὐτὸν] αὐτὸν cf. 123 || *116* ὑπὸ] ὑπὲρ m. pr. || οἷος τε || *123* ἔμελε] ἔμελλε || *123* αὐτὸν] αὐτὸν cf. 115 || *127* πρῶτος] πρώτως, sed in margine librarius πρῶτος exhibet || *131* ἐώκει] ἐδόκει (ubi pristinam lectionem ἐδόκει

ἐώκει

calamo induxit, ἐώκει infra adscripsit librarius) || εἶναί inc. f. 220ʳ || *132* κατὰ Διονύσου] legendum videtur: κατὰ Διόνυσον, nisi μετὰ Διονύσου praestat || ἱστόρησαν || ἐψίλωτο] ἐψίλω τὸ || *134* ἀδροτέρα || *137* εἶπεν ἄν τις] εἶπεν ἂν (cf. 111 cl. 79); etiam coniectura εἶπες ἂν satisfacit cf. Ecphr. pumil. 65 || *138* ἠδύναντο] ἠδύνατο || τοιοῦτος τις || *139* γέλωτα] γέλως (pro γέλων?) || *140* ἁδροτέρα || *143* ῥίνας || *145* ὃ δ' cf. ad 82 || ἀνακράτος || *147* ἐπιβραχὺ || *148* Λάκων] cf. Plutarchus Vit. Lycurg. XVIII 1 p. 51 AB || *150* αὐτὸν] αὐτὸ || *151*

σπῖνοι || ὑπερπετώμενοι] l. ὑπερπετόμενοι. Forma ὑπερπέτεσθαι Manasses utitur 70, Exc. am. II 90, Astrogl. f. 156^{v} cf. etiam Chron. 6567 ἐπέτετο et Exc. am. in codice Vindob. philol. 307 f. 10^{r} τὸ πάθος γὰρ πετόμενον ὡς λίθος πυργοσείστης, ubi falsa est varietas scripturae πετώμενον apud Millerum poème moral 478 || τρόπον] τόπον || *153* ῥάβδων] ῥαυδων || *154* σπῖνος || *155* σπίνοι] πόνοι || *157* σπῖνον || ὑπανεμίμνησκε] οὐκ$^{\text{ὑπ}}$ ἀνεμίμνησκε || ἡ inc. f. 220^{v} || *159* ἄνθη] αἴθη || *159* τότε] ὅτε || *161* ἡτοίμαζε] ἑτοίμαζε || *162* εἰστίων] ἑστίων || *164* Νικίαν] cf. Aelianus V. H. III 31 || *166* lacunam vacuum codicis spatium indicat || *166* sq. δροσοφάγον — ἢ ἀερότροφον] δωροφάγον — ἢ ἀδροτρόφον, quam libri manuscripti memoriam recte a nobis correctam esse docet Plutarchus Quaest. Conv. IV 1 cap. I 5 p. 660 F οὐκ ἄκραν ἀπόδειξιν ἔχει ἐν ἀέρι καὶ δρόσῳ, λέγουσι, καθάπερ οἱ τέττιγες σιτούμενον. Cicadas rore vesci inde ab Hesiodo (Scut. 395) communis veterum est opinio cf. Anacreon Od. XXXII 3, Aristoteles Hist. anim. IV 7, 7 cl. Part. anim. IV 5, Callimachus fr. 542 Schneid. (unde adiectivum πρώκιος in Lexica recipiendum est), Theocritus Id. IV 16, Leonidas Tarentinus Anth. Pal. VI 120, 4, Meleager ib. VII 196, 1, Antipater Thessalonicensis ib. IX 92, 1, Incertus ib. IX 373, 2. 8, Aelianus N. A. I 20, Athenaeus II p. 46 E, Philostratus Epist. LXXI (Epistologr.) p. 486 Herch., Gregorius Nazianzenus Epist. XXVI (Patrol. Gr. vol. XXXVII) p. 61 B, Philes de anim. 500; Vergilius Ecl. V 77, Plinius H. N. XI 26, 94; aëris aspiratione cicadas sustineri produnt etiam Philo Iudaeus quod omn. lib. 2 (vol. II p. 446 Mang.) ἀρετῆς αὔρᾳ, καθάπερ ἀέρι φασὶ τοὺς τέττιγας, τρεφομένους et Ambrosius Epist. XXVIII 5 (Patrol. Lat. vol. XVI) p. 1097 B atque, ut cicadas aiunt, aura quadam pasci cupiditatum. A Manassa autem fictas esse adiectivorum δροσοφάγος et ἀερότροφος formas ex additamento ἂν εἴπῃ τις (167) adparet || *168* ζήλου] ζ$^{\text{λ}}$η || *169* φησὶ] cf. Apostolius II 94 (= Plutarchus de educ. puer. 6 p. 4 A) cl. Leutschio ad Macar. VI 90 || *170* οὕτως] οὗτος cf. 189. 192, Ecphr. pumil. 33 || *171* ἐλάνθανεν] ἐμάνθανεν || *173* sq. χειροτμήτοις] χηροτμήτοις || *174* δενδρασιν (cf. ad Ecphr. Tell. 102 cl. Chron. 189 ἐνταῦθα φάλαγξ εὐωδῶν δενδράδων ἀειβλάστων) || ἀπέρριπτον] ἀπέριπτον (fortasse ἐπέρριπτον rescribendum est) || *175* τὰς] τοὺς cf. ad 48 || *176* ἐγίνοντο] ἐγίγνοντο, — at cf. 6. 68. 105. 110. 112. 118. 146 || *178* ἀνέζωστο] ἀνέζωτο || ἀνέδεδετο m. pr. || *179* ὃ δ' utrobique cf. 82 || ἀνθυπεστρέφετο || ἡ inc. f. 221^{r} || *180* που τί$^{\text{τε}}$ || *181* τότε] τὸ (sic) || *184* κάτωθεν] πρότερον κάτωθεν (ubi scripturam πρότερον atramento inductam delendam esse significavit

N

librarius) || *185* συνανυφαίνοι] συνανυφαί, unde optativi formam eliciendam esse probant Chron. 5129 sqq. ἀλλὰ καὶ κότον ἔτρεφε κατὰ τοῦ παραινοῦντος, | ὅμοιον δρῶν, ὡς εἴ τινες ἰχώρων πεπλησμένοι | νοσοκομοῖντο πρός τινος, οἱ δ' ἀποδυςπετοῖεν | καὶ μᾶλλον ἀγριοίνοιντο πρὸς τὸν εὐεργετοῦντα, 5888 sqq. ἔβλεψε τοῦτον Δάνουβις καὶ Σκύθης Ἰστρογείτων | ... κτιννύοντα, διώκοντα, τρέποντα τοὺς προμάχους, | ὡς εἴ τις λέων ἐμπεσὼν βουσὶ μεγαλοπλεύροις | θοινῷτο καὶ σπαράγμασι βιαίοις κεραΐζοι. Adde Ecphr. pumil. 69 sqq. τοιοῦτον ἦν τὸ φαινόμενον, ὡς εἴ τις ἀρτιμοσχεύτοις λύγοις καὶ ἀρτιφύτοις βάρος οἰκίας πιστεύσειεν et Chron. 6696 sqq. οἷς ἦν τὸ γένος τρίδουλον, καὶ πάπποι καὶ πατέρες | ... ὡς εἴ τις μεγαλόφορτον πιστεύσειε φορτίδα, tum 6575 sqq. ἐξέρυθρον ἱμάτιον ἐφόρεσεν ἐκ φόνων, | ὡς εἴ τις λέων ἐντυχὼν δειλοκαρδίῳ ζώῳ | ῥήξει πλευρὰν τοῖς ὄνυξι καὶ λάψει τῶν ἐγκάτων | καὶ δείξει ἐγκατάβαπτα τοῖς αἵμασι τὰ χείλη, ubi 6578 hiatus ratio codicis A (et editionis Meursianae) scripturam δείξειε(ν) κατάβαπτα commendat, futuri autem formae ῥήξει et λάψει (6577) offensione perinde vacant ac Chr. 56. 1165. 3839 sq. Ceterum in contextu nostro pro συνανυφαίνοι cave συνυφαίνοι corrigendum esse statuas propter Astrogl. f. 157ʳ in astrogleni descriptione, quam adponendam esse duco, cum nostra avicula depingatur (cf. etiam 54 sqq.), ab ipso Manassa eblandita (cf. 191 sqq.): κεχιόνωτό οἱ τὸ ῥάμφος· ἦν γάρ τοι γέρων καὶ παλαιόχρονος· τῆς κεφαλῆς τὸ μὲν ὑπόκιρρον ἦν καὶ τὸ κιρρὸν ὑπεχρύσιζε· τὸ γάρ τοι πυρσίζον καὶ σανδαράχινον ὁ χρόνος μετέβαψε, τὸ δὲ στυγνὸν καὶ μελάντατον διεφαίνετο· καὶ ἦν ὁ στρουθὸς κατ' ἐκεῖνο καὶ μελαγκόρυφος καὶ τὰ περὶ τὸ ῥάμφος χρυσεοπήληξ ἐδείκνυτο καὶ τὰ πρὸς τῷ μεταφρένῳ καὶ τῇ δειρῇ μελανόκρανος (om. Lexica)· καὶ τὸ χρυσίζον ἐπέλαμπε καὶ τὸ τοῦ μέλανος βάμμα ἐπέπρεπε· τὸ μὲν μέχρι καὶ ἐς αὐτὸν κατέβαινε τὸν λαιμὸν καὶ ἐστεφάνου τὴν κεφαλήν, τὸ δὲ μέλαν καθάπερ ζῶστρον ἐχρώζετο καὶ ἦν ὡς σπαρτίον ἀληλιμμένον (ἀληλιμένον Vind., recte Laur.) θολῷ καὶ διϊκνεῖτο περί που τὴν φάρυγγα, ἐνιαχοῦ δὲ τὸ χρυσίζον τῷ μέλανι κέκρατο, εἶπεν ἄν τις βύσσον δρᾶν συνυφασμένην[1] χρυσῷ· ἑκατέρωθεν δὲ περὶ τοὺς κροτάφους καὶ τὸ λευκὸν ὑπεγέλα καὶ ὡς βῶλοι μαργαρίδων ἀπήστραπτε (sic Laur., ἀπήστραπται Vind.)· τὸ ἐπινώτιον πτέρωμα οὔτε εἰς βάθος ἐπύρσιζεν οὔτε μὴν τελέως ἐσπόδωτο, ἐξίτηλον δέ τι καὶ ἀμαυρὸν τὸ πυρσὸν ἐκάθητο καὶ ἀμφίβολον· ἑκατέρα δέ οἱ πτέρυξ τὸ μὲν ὅλον μελάντατον, ἐνιαχοῦ δὲ καὶ κρόκεα ῥαβδώματα περιέσωζεν, ἕκαστόν τε

τε
(ἕκαστον Vind.) πτερὸν ἄνω μὲν καὶ κάτω τὴν μελανίαν ἄκραιον ἔφερε, πρὸς δὲ τῷ μέσῳ καὶ εὐθεῖαν ὀλίγην ὑπόκιρρον, ἐν δὲ ταῖς πρὸς ἄλληλα συμβολαῖς καὶ τὸ

---

[1]) Voce συνανυφαίνειν utitur Manasses ineditus in codice Barberiniano Gr. II 61 f. 108ʳ.

λευκὸν ἀμυδρὸν περιέκυπτε (sic Laur, περιέκρυπτε Vind.)· τὰ δὲ ὕπτια πῇ μὲν ὡς ἄνθος ἀμυγδαλῆς (ἀμυγδαλῆς Vind., non Laur.) πεπολίωτο, πῇ δὲ καὶ πυρσῷ ἐξηυγενίζετο χρώματι· λελεύκωτό (λελεύκατό Vind., λελεύκαντό Laur.) οἱ τὸ σκέλος ἑκάτερον, κεχιόνωτό οἱ τὰ περιπόδια· ὀξυτέρους τοὺς πλείονας τῶν ὀνύχων καὶ ἐπάκμους διέσωζεν. Manassae astroglenum dono donatum esse testimonio confirmat Astrogl. f. 156ᵛ ἐξ οὗ γάρ μοι τὸ δῶρον ἠνέχθη τὸ τηλικοῦτον, οὔπω καὶ νῦν ἐξεγένετο στρουθιοθήραν (om. Lexica) στήσασθαι ἄεθλον κἀκεῖνον εἰς τὸν ἀγῶνα καταγαγεῖν καὶ ἀποπειράσασθαι τῶν μελῶν καὶ ἀπολαῦσαι τῆς λαλιᾶς· ἀλλ' ἤδη τέταρτον ἔτος ἐφ' ἑστίας ἐτήρουν καὶ εἶχον, ὡς ἂν εἴποι τις, ἔμφρουρον || *187* στίγματα] στίμματα || *188* εἴπῃς ἄν, ὡς πυῤῥίχιον ὀρχεῖται] eadem translatio comparet Astrogl. f. 157ᵛ καὶ ἄντικρυς πυῤῥίχην ὠρχεῖτο || *189* γλύκιον] supplementum μέλιτος commendat Astrogl. f. 154ᵛ τὸ δέ οἱ φθέγμα γλύκιον μέλιτος ἔσβεστο, attamen Manasses γλύκιος pro γλυκὺς adhibuisse putandus est cf. 12, Chron. 76. 94. 5922, Exc. am. in codice Vindob. philol. 307 f. 2ʳ (γάνος ἐνστάζει ταῖς ψυχαῖς καὶ γλύκιον ἐμπαίζει), Mon. 179 (ubi minus recte Kurtzius γλύκιον pro γλύκιστον dictum esse iudicat) || *191* ὑπεσήμαινον] ὑπεσήμανον || τοιάνδέ σοι || *194* ἐσεῖται in ἔσται mutare nolui cf. Exc. am. IV 57 ἐσσεῖται || *195* ἔσται] ἔστω? || ἐγὼ] ἔφην (quod librarius tollendum esse significavit) ἐγὼ || *198* περισώζων] περισώζειν Esc. ap. Mill. cf. ad 1.

II.

Ecphrasin nostram in Urb. f. 221ᵛ contextus excipit, quem ipse librarius atramento induxit, hoc videlicet consilium secutus, ut totam particulam delendam esse significaret, quapropter et lemma rubricatum opusculo praemittere et litteram initialem rubro adscribere supersedit. Quae cum ita sint, non est probabile scriptionem ultra f. 221 processisse, in quo nunc oratio ita abrumpitur, ut post vacui folii intercapedinem (f. 222) folium proximum (f. 223) continuo libellum »ἐπιδημία Μάζαρι« adferat. Manassae vero fetum f. 221ᵛ exhiberi lemma docet in imo margine adiectum, quod, tametsi bibliopegi incuria amputatum est, satis perspicua frusta servavit: τοῦ λογιωτάτου κυροῦ Μανασσῆ τοῦ μ . κ . . . ου (l. μακαρίου) μονῳδία ἐπὶ τῷ κυρῷ . . . . Quodsi rationum momenta ex elocutione petuntur, nulla restat dubitatio, quin litterarum fragmenta et vestigia recte expleantur; inprimis autem similis argumenti opuscula a Kurtzio edita (Mon. et Cons.) analogias suppeditant cf.

1 προπηδᾷ τοῦ λόγου τὰ δάκρυα et Mon. 16 sq. προπηδᾷ τοῦ λόγου πένθους νοτίς, —

6 sq. βλέφαρα σκυθρωπάζει, δεδάκρυνται δὲ παρειαὶ καὶ τὰ πρόσωπα συννεφῆ καὶ κατάστυγνα καὶ οἱ ὀφθαλμοὶ δακρύων πηγὴν ἐπαγγέλλονται et Mon. 9 sq. τὰ πρόσωπα συννεφῆ, τὰ βλέφαρα κατηφῆ, τῶν ὀφθαλμῶν οἱ κύκλοι διάβροχοι δάκρυσιν cl. 66 sq. στυγνάζει μὲν ὁ περιϊστάμενος ὄχλος, —
8 πῦρ ὁρῶ κατηφὲς καὶ οὐκ ἐπινυμφίδιον, οὐ γαμήλιον et Mon. 8 sq. πῦρ σκυθρωπὸν καὶ ἄχαρι τοῦτο τὸ πῦρ, οὐκ ἐπιθαλάμιον, οὐ γαμήλιον, —
12 (μέλος) γοερὸν καὶ παράμουσον et Cons. 280 sq. μέλος γοερὸν καὶ παράμουσον cll. Mon. 187 μέλος γοερὸν et 3 sq. μέλος παράμουσον, —
18 ἐπιλείπει με ἡ φωνὴ et Mon. 16 ἐπιλείπει τὸ φθέγμα, —
22 ὦ θάνατε, δρεπανῖτα πικρέ, οἷον στάχυν καλὸν ἀπεθέρισας et Cons. 161 ὁ πικρὸς ἐκθερίζει δρεπανίτης [1]) ὁ θάνατος cl. Mon. 47 sq. ὢ θάνατος ἄδικος καὶ βάσκανος θεριστής, οἷον εἰς γῆν στάχυν κατήνεγκεν et Cons. 67 sq. ἐθέρισέ σου (θάνατος) στάχυν τὸν καλόν, —
24 sq. περικαλλὴς τὸ φαινόμενον, ὡραιότερος τὸ νοούμενον et Cons. 169 sq. καλὴ τὸ φαινόμενον, καλλίων δὲ τὸ νοούμενον cl. 299 sq. τὴν εὐπρεπῆ τὸ φαινόμενον, τὴν εὐπρεπεστέραν τὸ μὴ βλεπόμενον (Chron. 241 sq. μικρὸν μὲν τὸ φαινόμενον ὡς ἐν μεγέθους ὄγκῳ, | τῇ δέ γε τιμιότητι κρείττω πολλῷ τοῦ κόσμου) [2]).

Monodiae Kurtzianae amplitudo adferri praeterea potest ad comprobandum iudicium de imperfecta codicis Urbinatis memoria, in qua quidem plures monodiarum notae desiderentur a Menandro rhetore περὶ ἐπιδεικτικῶν cap. XVI (Rhet. Gr. vol. IX p. 315 sqq. Walz.) enucleatae. Observavit Manasses artis praecepta vel in monodia de astrogleno, cur igitur eum extra praescripta egressum esse putemus, cum iuvenis summo loco nati mortem deploraturus esset? Haud obscure autem defunctus verbis καισάρων θυγατριδοῦς, βασιλέων ἀπόγονος (23 sq.) notatur; in censum enim venit filius Mariani Maurocatacalonis, qui Nicephori Bryennii sororem in matrimonium duxit (cf. Anna Commena XIII 7 Μαριανὸν τὸν Μαυροκατα-

[1]) Hinc nostra emendatio δρεπανῖτα pro δραπέτα confirmatur cf. insuper Chron. 1073 sq. καὶ γένος πᾶν ἀλλόφυλον καὶ πλῆρες δυσσεβείας | ὡς δρεπανῖται λήϊον ἐθέρισαν ῥιζόθεν. Fugitiva est vita, non mors cf. Palladas Anth. Pal. X 87, 1 ἂν μὴ γελῶμεν τὸν βίον τὸν δραπέτην.

[2]) Adde 2 sq. ἐπίκειται δὲ τὸ πάθος ὡς λίθος καὶ τὴν καρδίαν συσφίγγει et Cons. 124 καὶ λίθος βαρὺς ἀθυμίας αὐτὴν (s. il. τὴν καρδίαν) ἐπεπώμαζε cl. Mon. 17 sq. τὸ δὲ τοῦ πάθους τραχὺ τὰς μὲν τοῦ στόματος θύρας ἐπιπωμάζει, τὰ σπλάγχνα δὲ συμπιέζει, — 9 φλόγα κεραυνίαν et Cons. 313 sq. κεραυνίῳ πυρί, — 9 sq. οὐ ταμίας μὲν ᾍδης ὁ πανδοδόχος, δαδοῦχος δὲ θάνατος et Mon. 21 sq. ὃν ᾍδης ἐληνοβάτησεν, ὃν ἐκέρασε θάνατος (cl. Chron. 2683 ἧς κηπευτὴς ὁ θάνατος καὶ φυτηκόμος ᾍδης), — 11 (μέλος) οὐχ ἑόρτιον et Mon. 7 sq. (= Cons. 5 et 280) μέλος ἀνέορτον, — 23 πρὸ ὥρας ἀνήρπασται et Mon. 49 πρὸ ὥρας ἀφανισθῆναι cl. Cons. 183 ἡ πρόωρος ἁρπαγή.

καλῶν... τὸν ἐπ' ἀδελφῇ γαμβρὸν τοὐμοῦ καίσαρος). Inter Manassae aequales honorifica Caesaris appellatione tantummodo Annae Comnenae maritus ornatus erat[1]); hinc sororis filius recte καισάρων θυγατριδοῦς vocatur; neque iniuria βασιλέων ἀπόγονος audit, quoniam Nicephori Bryennii pater anno 1077 exercitus conclamatione imperator appellatus purpuram adscivit[2]).

Verum haec hactenus! Iam Manassae oratio (Mon. Urb.) proponitur.

Προτρέχει μοι τῆς φωνῆς ὀδυρμὸς καὶ προπηδᾷ τοῦ λόγου τὰ δάκρυα καὶ θέλει μὲν ἡ γλῶσσα λαλῆσαι καὶ τὸ συμβὰν ἀποδύρασθαι, ἐπίκειται δὲ τὸ πάθος ὡς λίθος βαρὺς καὶ τὴν καρδίαν συσφίγγει καὶ τὴν φθογγὴν τυραννεῖ· ὁρμᾷ μὲν τὸ στόμα μηνῦσαι τὸ ἄλγος, ἐπέχει δὲ ὑπὸ τῆς πικρίας· τὸ γὰρ τοῦ πάθους ἄχθος ἐνστέρνιον. Ὤμοι ἐγώ, τίνος βλέπω τοῦτον τὸν σύλλογον, οὗ βλέφαρα σκυθρωπάζει, δεδάκρυνται δὲ παρειαὶ καὶ τὰ πρόσωπα συννεφῆ καὶ κατάστυγνα καὶ οἱ ὀφθαλμοὶ δακρύων πηγὴν ἐπαγγέλλονται; Πῦρ ὁρῶ κατηφὲς καὶ οὐκ ἐπινυμφίδιον, οὐ γαμήλιον, πῦρ φλεκτικόν, οὐ λαμπτήριον, ἀλλὰ φλόγα κεραυνίαν, ἀλλὰ πυρὸς ἀπόσπασμα, οὗ ταμίας μὲν ᾍδης ὁ πανδοδόχος, δᾳδοῦχος δὲ θάνατος· καὶ λύρα μὲν ἐπηχεῖ καὶ μέλος ἀκούεται, ἀλλ' οὐ χορείας, ἀλλ' οὐκ εὐφρόσυνον, ἀλλ' οὐχ ἑόρτιον, ἐκμελὲς δὲ καὶ τραχὺ καὶ γοερὸν καὶ παράμουσον, μελανία δὲ τοὺς πολλοὺς περιχρώζει κατὰ τὰς δρῦς τὰς κεραυνοβλήτους καὶ χοροστατοῦσιν οἱ στεναγμοὶ καὶ ἀντᾴδουσιν οἱ ὀλολυγμοί. Ἐνταῦθα καὶ πλοκάμων τιλμοὶ καὶ βοστρύχων σπαράγματα καὶ παρειαὶ καθάπερ ἀρότροις τοῖς ὄνυξιν αὐλακίζονται καὶ τοῦ ποταμοῦ τῶν δακρύων ἀμάραι καθίστανται· οἰκτίσειεν ἂν τὴν χορείαν ταύτην καὶ λίθος, ὁρῶν τοσούτοις ἐμπρέπουσαν ἄλγεσι.

Κεῖται ἀνήρ· ἀλλὰ γὰρ ἐπιλείπει με ἡ φωνὴ καὶ φεύγει τὸ φθέγμα καὶ δραπετεύει τὸ ἆσθμα· κεῖται ἀνήρ, οἶκος χαρίτων, λειμὼν ἀρετῶν, κῆπος πραότητος, ἄλσος συνέσεως, ἑστία φρονήσεως, ὁ μεγαλοπρεπής, ὁ ἐλευθεροκάρδιος, ὁ φιλόδωρος, ὁ κατὰ τὸ σῶμα τρισευγενὴς καὶ τὴν ψυχὴν εὐγενέστε-

[1]) Cf. M. Treu, Byz. Zeitschr. vol. IV (1895) p. 9.

[2]) Falso Ephraemii versum 3419 ὃς παρασήμοις ὡραΐστο τοῦ κράτους interpretatur A Maius (p. 147 Bonn.): „qui ex illustribus erat optimatibus". Circumlocutione poetica Ephraemius Zonarae verba expressit XVIII 17 καὶ περιβάλλεται τὰ τῆς βασιλείας παράσημα, quae ex Scylitzae narratione manarunt (Cedren. vol. II) p. 728, 18 τὸ δὲ τὰ βασιλικὰ παράσημα ἐν Τραϊανουπόλει περιβαλέσθαι τὸν Βρυέννιον. Scylitzes vero Michaelem Attaliatam compilavit p. 246, 23 sqq. παρήχθησαν δ' αὐτῷ καὶ τὰ τῆς βασιλείας παράσημα, οἵ τε ἵπποι μετὰ τῶν δίφρων καὶ τὰ ἐρυθρὰ καὶ βασίλεια πέδιλα, ex quo pendent etiam Nicephorus Bryennius Caesar III 10 ἐβιάζοντο τοῦτον τήν τε ἁλουργίδα περιθέσθαι καὶ τὰ κοκκοβαφῆ ὑποδήσασθαι πέδιλα et Anna Comnena I 4 (Νικηφόρου τοῦ Βρυεννίου) τὸ διάδημα ἑαυτῷ περιθεμένου.

ρος. Ὦ ϑάνατε, δρεπανῖτα πικρέ, οἷον στάχυν καλὸν ἀπεϑέρισας, οἷον ἔρνος λαμπρὸν ἀπηγλάϊσας! ἐξέλιπεν, οἴμοι, πρὸ ὥρας ἀνήρπασται· οἴχεται καισάρων ϑυγατριδοῦς, βασιλέων ἀπόγονος, περικαλλὴς τὸ φαινόμενον, ὡραιότερος τὸ νοούμενον. Ὦ οἷον ἄνϑος ἀπέρρευσεν, οἵα σώματος ἀναδρομὴ ἀπεψύγη! . . . .

Adnotatio critica.

1 προτρέχει] ροτρέχει (sine littera initiali) || *4* τυραννεῖ] τυραννοῖ contra Manassae usum || μηνύσαι || ἐπέχει] ἐπέχεται commendat Nicephori Basilacae monodia, quam sub Choricii nomine post A. Maium edidit I. F. Boissonade (Choricii Gazaei orationes, declamationes, fragmenta) p. 179, 1 sq. προτρέχει μοι τοῦ λόγου τὸ δάκρυον (cf. Mon. Urb. 1), ἀδελφὲ φίλτατε, καὶ ἡ φωνὴ ἐπιλείπει (cf. Mon. Urb. 18) καὶ ἡ γλῶττα ἐπέχεται. Quam monodiam post annum 1155 conscriptam cum Mon. et Cons. componit Kurtzius p. 4 sq.; cum Mon. Urb. conferri possunt praeterea p. 179, 2 sqq. οὐδὲ γὰρ ἐπιϑαλάμιον ᾄδω σοι οὐδὲ κρότον ἐγείρω γαμήλιον, . . . ἀλλ' ἐπιϑανατίους πλέκω σοι τὰς ᾠδὰς καὶ ϑρήνων ἐξάρχω καὶ γοερὸν ἀνακρούομαι (cf. Mon. Urb. 11 sq.) et p. 185, 14 sqq. αὐλακίζει καὶ ὄνυξι τὰς παρειάς, τῶν σῶν αἱμάτων ἀντιδιδοῦσα κρουνούς, καὶ γεωργεῖ πένϑος αἱματηρόν, τίλλει καὶ πολιάς (cf. Mon. Urb. 14 sqq.) || *5* vox ἐνστέρνιος accedat Lexicis; idem valet de λαμπτήριος (9) et περιχρώζειν (12) || *6* δεδάκρυνται] δεδάκρυντα (hemistichium δεδάκρυνται δὲ παρειαὶ ex Homero fluxit cf. Il. XXII 491 et Od. XX 353) || *7* ἐπαγγέλλονται] ἐπαγγέλονται || *20* ἑστία || *22* δρεπανῖτα] δραπέτα || *24* περικαλλὴς] περικαλὴς || *25* οἷα || voce ἀπεψύγη terminatur f. 221v, attamen finale signum desideratur; recte igitur lacunam indicasse mihi videor.

Cracoviae.

Continuabuntur.